# TEZAUR LITURGIC

## 14 OCTOMBRIE
## ATANASIE DE LA REDEST

# PARACLISUL
# SF.IERARH
# IGNATIE
# AGALIANOS,
# ARHIEPISCOPUL
# MITHIMNEI
# LESBOSULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 14 ΟΚΤΩΒΡΙΟΣ
# ΙΓΝΑΤΙΟΣ ΜΗΘΥΜΝΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ἀθανασίου ἐκ Ῥαιδεστοῦ**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῆς νήσου Λέσβου τὸ θεόφυτον ἄνθος, τὸν ποιμενάρχην τοῦ λαοῦ τῆς Μηθύμνης, Μονὰς Λειμῶνος πήξαντα, Μυρσίνης σεπτάς, Ἱεράρχην θεοῤῥήμονα, ἀνυμνήσωμεν οἱ πιστοί, πάντιμον Ἰγνάτιον, τοῦ Χριστοῦ ἀρχιθύτην, τὴν θείαν μνήμην ἄγοντες αὐτοῦ, ὅτι ὡς πρέσβυν, πρὸς Κύριον ἔχομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Παῦσον καθ' ἡμῶν πειρασμούς, θεῖε Πάτερ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Παθῶν τὰς ἐφόδους καὶ πειρασμούς, τῶν σοὶ προστρεχόντων, καὶ τιμώντων σε ἐν ᾠδαῖς, κατάπαυσον Πάτερ θεοφόρε, τῶν Μηθυμναίων ποιμὴν Λέσβου καύχημα.

Ἀσκήσεως ἤστραψας βιοτῇ, τοῦ Εὐαγγελίου μεταδοὺς ῥήματα Θεοῦ· διὸ ἡμῶν νοῦν ψυχὰς καρδίας, θείῳ φωτὶ ὦ Ἰγνάτιε αὔγασον.

Ὑφέρπει δολίως ὁ πονηρός, εἰς βάθη κακίας, ἁμαρτίας τῇ ἡδονῇ, κρημνῖσαί με θέλων θεῖε Πάτερ, ἀλλὰ τῇ σῇ ἀντιλήψει βοήθησον.

*Θεοτοκίον.*

Σοὺς Κόρη ἀξίωσον ὑμνητάς, κεχαριτωμένη, ἀνυμνεῖν Σε χρεωστικῶς, ἡ τέξασα Λόγον ἀποῤῥήτως, ταπεινοφρόνως τὸν βίον πορεύεσθαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὁ σοφὸς Ἱεράρχης δοῦλος Χριστοῦ ἔνθεος, ὕμνοις μελιχροῖς εὐφημείσθω, ὡς Τούτου ἄξιος, εὐσυμπαθὴς δὲ λαῷ, ἀναδειχθεὶς κατὰ πάντα, ὁ πιστῶν σκοτόμαιναν, παύσας κηρύγματι.

Νικητὴς θεῖος ὤφθης κατὰ σατᾶν Ἅγιε, πάθη σαρκικὰ τιθασεύσας, εὐχαῖς νηστείαις τε, καὶ ἀγρυπνίαις πολλαῖς, ἐν μετανοίᾳ διάγων· σὺ δ’ ἡμῶν τὰ κύματα, χαλιναγώγησον.

Κακουργίας δαιμόνων τῆς βδελυρᾶς λύτρωσαι, τοὺς σὲ ἀνυμνοῦντας ᾀσμένως Πάτερ Ἰγνάτιε, ὁ δοὺς ἀγάπην ἐχθροῖς, καὶ τῶν πταισμάτων τὴν λύσιν, ὡς Χριστοῦ Ἐπίσκοπος, θεοειδέστατος.

*Θεοτοκίον.*

Ἀειπάρθενε Μῆτερ ἐξ οὐρανοῦ χάριτας, πέμψον τοῖς πιστῶς σὲ τιμῶσι, καὶ μακαρίζουσιν, ὡς εὐφροσύνης

ἡμῶν, θείαν νεφέλην καὶ σκέπην, τὴν ψυχὰς δροσίζουσαν, ἐκ παθῶν καύσωνος.

Κατάπεμψον, τὴν χάριν σου οὐρανόθεν, ποιμὴν Μηθύμνης ἐπὶ πάντας Ἰγνάτιε, τοὺς πόθῳ τιμῶντάς σε, ἰώμενος ἀσθενείας κατ' ἄμφω.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἁγίων Θεοῦ τὸν βίον ἐκμιμούμενος, Μηθύμνης λαοῦ, ἀρχιεράρχης γέγονας· διό σοι κραυγάζομεν· ποιμενάρχα ἔνδοξε τάχυνον, καὶ ἐκ κινδύνων ῥῦσαι τοὺς πιστούς, ἐν ὕμνοις τὴν μνήμην σου γεραίροντας.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Θεαρέστως ἐποίμανας, ποίμνην λογικὴν τοῦ Κυρίου Ὅσιε· διὸ πάντας πρὸς τὴν εὔκλειαν, τοῦ Θεοῦ ὁδήγησον πρεσβείαις σου.

Ἡ γενέτειρα νῆσός σου, χαίρεται λαμπρῶς ὦ σοφὲ Ἰγνάτιε, καὶ βοᾷ ἐγκαυχωμένη σοι· δὸς κἀμῖν σὴν χάριν ἣν ἀπείληφας.

Μιμητάς σου ἀνάδειξον, ἐν τῇ σῇ ἀγάπῃ καὶ πίστει ἅπαντας, τοὺς τιμῶντάς σε Ἰγνάτιε, καὶ Θεοῦ καρδίαις πόθον φύτευσον.

*Θεοτοκίον.*

Ὦ Παντάνασσα δούλους Σου, τοὺς ὁμολογοῦντάς Σε καθαγίασον, Θεοτόκον καὶ ὑμνοῦντάς Σε, ἐν μελισταγέσι μελῳδήμασι.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Νέκρωσον ἡμῶν, ἀμπλακήματα χαμαίζηλα, ὁ τῆς σαρκὸς μαράνας τὰς φθονεράς, ἐπαναστάσεις δαιμόνων, δ' ἐκτρέψας ἔνεδρα.

Πίστεως Χριστοῦ, ὤφθης σὺ κῆρυξ θεόπνευστε, ὑπὲρ Αὐτοῦ τῆς δόξης ἅπαντα δούς· διὸ σὴν πίστιν, θερμὴν δὸς κἀμῖν Ἰγνάτιε.

Ἔλασον μακράν, ἀφ' ἡμῶν βελῶν τοξεύματα, τὰ ἰοβόλα Πάτερ ταῖς σαῖς λιταῖς, πρὸς τὸν Σωτῆρα, εἰρήνην ψυχαῖς δωρούμενος.

*Θεοτοκίον.*

Ἴθυνον ἡμᾶς, πρὸς λιμένα γαληνότατον, ὡς ὁλκὰς σωτηρίας οὖσα ἁγνή, ἡ τὸν Σωτῆρα ἀσπόρως γαστρὶ κυήσασα.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ῥωννύμεθα, σαῖς εὐχαῖς πρὸς εὔσπλαγχνον, Ἱεράρχα θεηγόρε βοῶντες· ῥῦσαι παθῶν, τὰς ψυχὰς τῶν σῶν δούλων, καὶ ἐκ βυθοῦ ἀπωλείας ἀνάγαγε, ὅτι κεκτήμεθα θερμόν, πρὸς Θεόν σε μεσίτην σωτήριον.

Ἀνόρθωσον, ἐκ βοθύνου πτώσεων, εἴσω τούτου πειρασμοῖς πεπτωκότας, τοὺς μεγαλύνοντας ἆθλα σὺν μνήμῃ, καὶ θαυμασταῖς δωρεαῖς σου Ἰγνάτιε, καὶ

πρὸς τὴν κτῆσιν ἀρετῶν, καὶ βελτίονα βίον κατεύθυνον.

Σαλπίσωμεν, πρὸς Χριστὸν ἐν ᾄσμασι, προσευχῆς ἡμῶν αἰτήματα θεῖα, συνειδητῷ, λογισμῷ μετανοίας, καὶ ἀῤῥυπώτοις τοῖς χείλεσιν ἔχοντες, ὅτι καρδίαν καθαράν, ἐλεεῖ ὁ Θεὸς ὡς εὐΐλατος.

*Θεοτοκίον.*

Μητρόθεε, Σὺ Θεὸν ἐκυήσας, ὑπὲρ φύσιν ἐν γαστρί Σου ἀσπόρως, τέτοκας δέ, τὸν τοῦ σύμπαντος Κτίστην, καὶ πλαστουργὸν τοῦ βροτείου φυράματος· Ὃν καθικέτευε ἀεί, δυσωποῦσα μὴ παύσῃ αἰτοῦμέν Σου.

Κατάπεμψον, τὴν χάριν σου οὐρανόθεν, ποιμὴν Μηθύμνης ἐπὶ πάντας Ἰγνάτιε, τοὺς πόθῳ τιμῶντάς σε, ἰώμενος ἀσθενείας κατ᾽ ἄμφω.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τὸν ποιμενάρχην Μηθύμνης τιμήσωμεν, βλαστὸν Φαράγγων τὸν θεῖον Ἰγνάτιον, ἐν ὕμνοις πάντες τῷ τάφῳ προστρέχοντες, ὅτι στηρίζει πιστούς, βλύζων χάριτας, καὶ πρεσβεύει Κυρίου, δοῦναι ἔλεος.

Προκείμενον: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

*Εὐαγγέλιον.*
Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλέησόν με...*

Πάτερ ἱερώτατε, βλαστὲ καὶ θρέμμα τῆς Λέσβου, κτῖτορ Μονῶν ἔνθε, καὶ Μηθύμνης πρόεδρε ὁ τῇ χάριτι, τοῦ Θεοῦ εἵλκυσας, τοὺς σοὶ προσιόντας, καὶ ἐφώτισας τοῖς ῥήμασι, τοῦ Εὐαγγελίου λαὸν γένους σου, τὸν ὑπόδουλον, Σχολὴν τὴν περιβόητον, τῆς Λειμωνιάδος δὲ ἵδρυσας, δὸς ἀεὶ ὑμνεῖν σε, καὶ πρέσβευε ἀπαύστως πρὸς Χριστόν, τοῦ παρασχεῖν μέγα ἔλεος, πᾶσι τοῖς τιμῶσί σε.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὁ ὀλετὴρ ἀνθρώπων ἐπολέμει σε Πάτερ τὴν καθ' ἑκάστην σφοδρῶς, ἀλλὰ σὺ τῇ δυνάμει, Σταυροῦ ἔλασας τοῦτον, ἀπὸ σοῦ καὶ τῶν τέκνων σου· διὸ βελίαρ ἡμᾶς, ἐκλύτρωσαι τῆς πλάνης.

Ὑπὲρ τῶν σὲ τιμώντων ὡς ταχὺς ἀντιλήπτωρ σπεῦσον στηρῖξαι ἡμᾶς, τῇ χάριτι Κυρίου, ἣν εἴληφας πλουσίως, ἀεὶ μέλπων Ἰγνάτιε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὺ ἰατρεύεις πάθη ψυχῶν τε καὶ σωμάτων τῶν προστρεχόντων πιστῶς, ἀσπάσασθαι εἰκόνα, τὴν φέρουσαν μορφήν σου, σὺν τῇ κάρᾳ σου ἔνδοξε, καὶ ἀνυμνούντων Θεόν, ἐν ὕμνοις μελιῤῥύτοις.

*Θεοτοκίον.*

Θεὸν τεκοῦσα Μῆτερ πρὸς ἡμᾶς ἀσθενοῦντας ἐν ἁμαρτίαις ἐλθέ, ὡς ῥύστις καὶ μεσίτις, πρὸς τὸν μονογενῆ Σου, ὅπως Σαῖς παρακλήσεσι, δῷ ἐγκλημάτων ὀφλήν, καὶ ἔλεος τὸ μέγα.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἔλεος θεῖον, τοῖς Σὲ Σωτὴρ προσκυνοῦσιν, Ὃν αἱ Τάξεις Ἀγγέλων ὑμνοῦσι, δὸς τοῦ Ἰγνατίου, δεήσεσιν ἐνθέρμοις.

Ἵνα φωτίσεις, λαὸν ὑπόδουλον Πάτερ, σὺ Σχολάρχης ἐγένου γραμμάτων, νῦν δ᾽ ἡμᾶς πρὸς φάος, ἄγαγε θείας δόξης.

Ἔσο μεσίτης, ἡμῶν πάντων ἐν ἡμέρᾳ, θείας δίκης Ἰγνάτιε μάκαρ, ἵνα σαῖς πρεσβείαις, κολάσεως ῥυσθῶμεν.

*Θεοτοκίον.*

Παρθένε Κόρη, ὑπὲρ ἡμῶν μὴ ἐλλίπῃς, δυσωπεῖν τὸν Σὸν τόκον ἀλήκτως, τῶν ὁμολογούντων, Σὲ ὡς Θεοῦ Μητέρα.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἀπαύστως ὑπὲρ πάντων, πρέσβευε θεόφρον, τῷ Χριστῷ ἱλασμὸν δοῦναι τῶν ἁμαρτιῶν, ὡς παῤῥησίαν μεγίστην, ἔχων Ἰγνάτιε.

Τῶν σὲ ἀνευφημούντων, βλάστημα τῆς Λέσβου, ἀρχιερεῦ Ἐκκλησίας Σωτῆρος Θεοῦ, ἐν τῇ φρικτῇ ὥρᾳ δίκης, Κριτῇ μνημόνευσον.

Ἐχθρῶν ἐπαπειλούντων, σὴν ἁγιοτόκον, νῆσον ὦ Πάτερ, κατασύντριψον τὴν ὀφρύν, καὶ τὰς αἱρέσεις ἀπέλασον, ἐκ τῆς ποίμνης σου.

*Θεοτοκίον.*

Ῥυσθῆναι τοὺς Σοὺς δούλους, ἐξ ἁμαρτημάτων, καὶ πειρασμῶν ἐπηρείας δυσώπει Υἱόν, ἐκ Σοῦ τεχθέντα ἀφράστως Θεογεννήτρια.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν ἀδελφοί, τὸν βλαστὸν τῆς Λέσβου, Μηθυμναίων τὸν ὁδηγόν· χαίροις ἐκβοῶντες, λαμπρῶν Μονῶν δομῆτορ, Λειμῶνος καὶ Μυρσίνης, ἐν τῇ πατρίδι σου.

Γλύκανον καρδίας ἡημῶν καὶ νοῦν, Χριστοῦ δὸς εἰρήνην, καὶ χαρὰν ταῖς ψυχαῖς σοφέ, ἄφεσιν πταισμάτων, ταπείνωσιν ἀγάπην, φόβον Θεοῦ λιταῖς σου, πρὸς τὸν φιλάνθρωπον.

Γρᾶψον ἡμᾶς Σῶτερ βίβλῳ ζωῆς, αἰωνίου δόξης, καὶ ἐν δίκῃ τῇ φοβερᾷ, ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἰγνατίου, ἀκατακρίτους πάντας, πρόσδεξαι εὔσπλαγχνε.

Ἴασαι τὰ τραύματα τῆς ψυχῆς, τοῦ νοὸς τὴν ζάλην, καὶ τοῦ σώματος ἐκτροπάς, τῶν σοφὲ ἐκ πόθου, σὲ ἐπικαλουμένων, ὡς ἰατῆρα πάντων, τῇ θείᾳ χάριτι.

Ὁ ἐν βίῳ ὅπλον ἔχων Σταυρόν, ἐζωσμένος Πάτερ, ἐναντίον τοῦ πτερνιστοῦ, τείχισον εὐχαῖς σου, περίζωσον ἰσχύϊ, ἡμᾶς φεύγειν δαιμόνων, πάντα τὰ ἔνεδρα.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Χριστόν, θεῖε Ἱεράρχα, ὑπὲρ δούλων ἁμαρτωλῶν, τῶν ἐν μετανοίᾳ, πιστῶς διαγαγόντων, λαβεῖν πταισμάτων λύσιν, καὶ μέγα ἔλεος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Χαῖρε, Ἱεράρχα τοῦ Χριστοῦ, ἅγιε Ποιμὴν Μηθυμναίων, σοφὲ Ἰγνάτιε, Λέσβου τὸ ἐκβλάστημα, καὶ θεῖον καύχημα, ἐκβοῶμεν τιμῶντές σου, τοὺς ἄθλους καὶ μνήμην, καὶ κατασπαζόμενοι, λειψάνων θήκας σεπτάς, κάραν σου εἰκόνα καὶ τάφον, ἐν Μοναῖς Λειμῶνος Μυρσίνης, καὶ Θεοῦ τοῖς οἴκοις πανσεβάσμιε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

